*Πῶλε, οὐκ ἐνόεις τὰ λεγόμενα, ἠναγκάσθην πλατῦναι τὸν λόγον, ὡς εἴ γε ἐνόεις, οὐκ ἂν ἐμήκυνα· ὥστε καὶ σύ, εἰ μὲν νοήσω, μὴ μηκύνῃς, εἰ δὲ μὴ δυνηθῶ παρακολουθῆσαι, ἔκτεινον τὸν λόγον.*

p. 465c. *ἅτε δὲ ἐγγὺς ὄντων φύρονται.*

10 *σύγχυσις γὰρ γίνεται σοφιστικῆς καὶ ῥητορικῆς· οὕτω γοῦν καὶ ὁ Γοργίας σοφιστὴς ὢν ἑαυτὸν ῥήτορα ἐποίει· ἄξιον δὲ ζητῆται, διὰ τί σοφιστικὴ μὲν καὶ ῥητορικὴ συγχέονται, κομμωτικὴ δὲ καὶ ὀψοποιητικὴ οὔ· φαμέν, ὅτι ἡ ὀψοποιητικὴ καὶ ἡ κομμωτικὴ εἴδωλά ἐστι σώματος· εἰ οὖν σῶμα αὐτὰς διεγίνωσκεν, σύγχυσις ἂν καὶ αὐτῶν ἐγίνετο. πῶς γὰρ τὸ σῶμα τὸ κρατούμενον τοῖς ἐξ αὐτῶν πάθεσιν εἶχεν διακρῖναι, νυνὶ δὲ ἐπειδὴ σώματος μέν εἰσιν εἴδωλα, ἡ ψυχὴ δέ ἐστιν ἡ διακρίνουσα, διὰ τοῦτο οὐ συγχέονται τῆς ψυχῆς διοριζούσης· ῥητορικὴ δὲ καὶ σοφιστικὴ τῆς ψυχῆς εἴδωλα· εἰ οὖν ψυχὴ ἡ πάσχουσα πῶς ἔχει διακρῖναι κατακρατηθεῖσα καὶ ἀνδραποδισθεῖσα· ὥστε διὰ τοῦτο ἡ σύγχυσις.*

p. 465c. *πρὸς δικαιοσύνην.*

11 *ἀντὶ τοῦ πρὸς δικαστικήν.*

p. 465d. *πρὸς αὐτό, τὸ τοῦ Ἀναξαγόρου.*

12 *ὁ Ἀναξαγόρας ὁμοιομερείας ἐπρέσβευεν καὶ ὁρῶν, ὅτι πάντα ἐκ πάντων γίνονται, μὴ δυνάμενος τῇ ἀναλύσει προσχεῖν ὡς τὸ πάντα ἐν πᾶσιν εἶναι, καὶ ἔφασκεν· ἦν ἄρα ὁμοῦ πάντα χρήματα· φησὶν οὖν, ὅτι εἰ τὸ σῶμα ἔκρινε τὰ τοῦ σώματος, ἦν ἅπαντα ἐν πᾶσιν, ἀντὶ τοῦ σύγχυσις ἐγίνετο. ταῦτα δὲ λέγω σοι, ὦ Πῶλε, ἐπειδὴ ἔμπειρος εἶ τῶν Ἀναξαγόρου λόγων· ἰστέον γάρ, ὅτι ὁ μὲν Γοργίας Ἐμπεδόκλειος ἦν, ὁ δὲ Πῶλος τοῖς δόγμασιν Ἀναξαγόρου ἔχαιρεν.*

---

21 Anaxag. fr. 1

---

8 mg. *ἀπορία* 9 mg. *λύσις* 27 mg. *σῃ.*

---

18 *δικαιοσύνην* **M**, cod. Plat. **BTP** Aristides, *δικαστικήν* cod. Plat. **F** 20 *αὐτό* **M** *αὔτο* codd. Plat. 22 *γίνονται* **M** *γίνεται* ς